# John 4:17-26 Practice

ἀπεκρίθη ἡ γυνὴ καὶ εἶπεν αὐτῷ· οὐκ ἔχω ἄνδρα.

λέγει αὐτῇ ὁ Ἰησοῦς· καλῶς (right) εἶπας ὅτι

ἄνδρα οὐκ ἔχω· 18 πέντε γὰρ ἄνδρας ἔσχες καὶ

νῦν ὃν ἔχεις οὐκ ἔστιν σου ἀνήρ· τοῦτο ἀληθὲς

εἴρηκας. 19 Λέγει αὐτῷ ἡ γυνή· κύριε, θεωρῶ ὅτι

προφήτης εἶ σύ. 20 οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει

τούτῳ προσεκύνησαν· καὶ ὑμεῖς λέγετε ὅτι ἐν

Ἱεροσολύμοις ἐστὶν ὁ τόπος ὅπου προσκυνεῖν δεῖ.

21 λέγει αὐτῇ ὁ Ἰησοῦς· πίστευέ (believe!) μοι,

γύναι, ὅτι ἔρχεται ὥρα ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ
οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ πατρί. 22
ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε· ἡμεῖς
προσκυνοῦμεν ὃ οἴδαμεν, ὅτι ἡ σωτηρία ἐκ τῶν
Ἰουδαίων ἐστίν. 23 ἀλλ᾽ ἔρχεται ὥρα καὶ νῦν
ἐστιν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ
προσκυνήσουσιν τῷ πατρὶ ἐν πνεύματι καὶ
ἀληθείᾳ· καὶ γὰρ ὁ πατὴρ <u>τοιούτους (such as these)</u>
ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν. 24 πνεῦμα ὁ
θεός, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι
καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. 25 Λέγει αὐτῷ ἡ

γυνή· οἶδα ὅτι Μεσσίας ἔρχεται ὁ λεγόμενος
χριστός· ὅταν ἔλθῃ ἐκεῖνος, ἀναγγελεῖ ἡμῖν
ἅπαντα. 26 λέγει αὐτῇ ὁ Ἰησοῦς· ἐγώ εἰμι, ὁ
λαλῶν σοι.